# Romans 8:1-17 Phrased

1 Οὐδὲν ἄρα νῦν κατάκριμα — κατάκριμα, ατος, τό- N,N,S, *condemnation*
τοῖς ἐν Χριστῷ Ἰησοῦ.
2 ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς
ἐν Χριστῷ Ἰησοῦ
ἠλευθέρωσέν σε — ἐλευθερόω- 3-S,Aor,Act,Ind, *freed, set (you) free*
ἀπὸ τοῦ νόμου
τῆς ἁμαρτίας
καὶ
τοῦ θανάτου.
3 τὸ γὰρ ἀδύνατον τοῦ νόμου — ἀδύνατος, ον- adj N,A,S, BAG: subst. *What was impossible for the law*
ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, — ἐν ᾧ- BAG IV, 6, d causal, *because*; ἀσθενέω- 3-S,Imperf,Act,Ind, *it was weakened, made powerless*
ὁ θεὸς — Verb is understood from context: *God did/accomplished*
τὸν ἑαυτοῦ υἱὸν πέμψας — πέμπω- M,N,S,Aor,Act,Ptc, *sending*
ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας
καὶ
περὶ ἁμαρτίας — περὶ ἁμαρτίας- this construction is used as a substitute for the Hebrew *'as a sin offering'* in the LXX
κατέκρινεν τὴν ἁμαρτίαν ἐν τῇ σαρκί, — κατακρίνω- 3-S,Aor,Act,Ind, *He condemned*
4 ἵνα
τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ — δικαίωμα, ατος, τό- N,N,S, requirements; πληρόω- 3-S,Aor,Pass,Sub, *might be fulfilled*
ἐν ἡμῖν
τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν
ἀλλὰ
κατὰ πνεῦμα.
5 οἱ γὰρ κατὰ σάρκα ὄντες
τὰ τῆς σαρκὸς φρονοῦσιν, — φρονέω- 3-P,Pres,Act,Ind, *set their minds on*
οἱ δὲ κατὰ πνεῦμα
τὰ τοῦ πνεύματος.
6 τὸ γὰρ φρόνημα τῆς σαρκὸς — φρόνημα, ατος, τό- N,N,S, *mind*
θάνατος,
τὸ δὲ φρόνημα τοῦ πνεύματος
ζωὴ
καὶ
εἰρήνη·
7 διότι — διότι- *therefore, because of this*
τὸ φρόνημα τῆς σαρκὸς
ἔχθρα εἰς θεόν, — ἔχθρα, ας, ἡ- F,N,S, *[is] hostile*

τῷ γὰρ νόμῳ τοῦ θεοῦ
οὐχ ὑποτάσσεται, ὑποτάσσω- 3-S,Pres,Pass,Ind, *does (not) submit*
οὐδὲ γὰρ δύναται·
8 οἱ δὲ ἐν σαρκὶ ὄντες
θεῷ ἀρέσαι ἀρέσκω- Aor,Act,Inf, *(cannot) please (God)*
οὐ δύνανται.
9 ὑμεῖς δὲ
οὐκ ἐστὲ ἐν σαρκὶ
ἀλλὰ
ἐν πνεύματι,
εἴπερ εἴπερ- conj *since, if indeed*
πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν. οἰκέω- 3-S,Pres,Act,Ind, *it dwells, lives*
εἰ δέ τις
πνεῦμα Χριστοῦ οὐκ ἔχει,
οὗτος οὐκ ἔστιν αὐτοῦ.
10 εἰ δὲ Χριστὸς ἐν ὑμῖν,
τὸ μὲν
σῶμα νεκρὸν διὰ ἁμαρτίαν,
τὸ δὲ
πνεῦμα ζωὴ διὰ δικαιοσύνην
11 εἰ δὲ τὸ πνεῦμα
τοῦ ἐγείραντος τὸν Ἰησοῦν ἐκ νεκρῶν ἐγείρω- M,G,S,Aor,Act,Ptc, *the one who raised*
οἰκεῖ ἐν ὑμῖν,
ὁ ἐγείρας Χριστὸν ἐκ νεκρῶν
ζῳοποιήσει καὶ ζωοποιέω- 3-S,Fut,Act,Ind, *will make alive, give life to*
τὰ θνητὰ σώματα ὑμῶν θνητός, ή, όν- adj N,A,P, *mortal (bodies)*
διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν. ἐνοικέω- N,G,S,Pres,Act,Ptc, *his spirit which dwells, lives*
12 Ἄρα οὖν, ἀδελφοί,
ὀφειλέται ἐσμέν ὀφειλέτης, ου, ὁ- M,N,P, *debtors, ones who are obligated*
οὐ τῇ σαρκὶ
τοῦ κατὰ σάρκα ζῆν. ζάω- Pres,Act,Inf, *to live*
13 εἰ γὰρ κατὰ σάρκα ζῆτε,
μέλλετε ἀποθνῄσκειν· μέλλω- 2-P,Pres,Act,Ind, BAG 1, c. *are destined, must, will certainly*
εἰ δὲ πνεύματι
τὰς πράξεις τοῦ σώματος θανατοῦτε, πρᾶξις, εως, ἡ- F,A,P, *the deeds*
ζήσεσθε.
14 ὅσοι γὰρ
πνεύματι θεοῦ
ἄγονται, ἄγω- 3-P,Pres,Pass,Ind, *being led*
οὗτοι υἱοὶ θεοῦ εἰσιν.

15 οὐ γὰρ ἐλάβετε
πνεῦμα δουλείας πάλιν εἰς φόβον — δουλεία, ας, ἡ- F,G,S, *slavery*
ἀλλὰ
ἐλάβετε
πνεῦμα υἱοθεσίας — υἱοθεσία, ας, ἡ- F,G,S, *adoption*
ἐν ᾧ κράζομεν, Αββα ὁ πατήρ·
16 αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ — συμμαρτυρέω- 3-S,Pres,Act,Ind, *testifies with*
τῷ πνεύματι ἡμῶν
ὅτι
ἐσμὲν τέκνα θεοῦ.
17 εἰ δὲ τέκνα,
καὶ
κληρονόμοι· — κληρονόμος, ου, ὁ- M,N,P, *heirs*
κληρονόμοι μὲν θεοῦ,
συγκληρονόμοι δὲ Χριστοῦ, — συγκληρονόμος, ον- M,N,P, *fellow-heirs, co heirs*
εἴπερ συμπάσχομεν — συμπάσχω- 1-P,Pres,Act,Ind, *suffer with, share in his sufferings*
ἵνα καὶ
συνδοξασθῶμεν. — συνδοξάζω- 1-P,Aor,Pass,Sub, *we might be glorified with, share in [His] glory*